## Το Σύμβολον Τῆς Πίστεως

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων·

Καὶ εἰς ἕνα Κύριον ᾿Ιησοῦν Χριστόν, τὸν Υἱόν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο·

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα·

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα·

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς·

Καὶ ἀνελθόντα εἰς τοὺς Οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός·

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος·

Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διά τῶν Προφητῶν·

Εἰς Μίαν, Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν ᾿Εκκλησίαν·

Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν·

Προσδοκῶ ἀνάστασιν νεκρῶν·

Καὶ ζωήν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

## The Nicene-Constantinopolitan Creed

I believe in one God, the Father, the Almighty, Creator of heaven and earth, and of all things visible and invisible;

And in one Lord, Jesus Christ, the only-begotten Son of God, begotten of the Father before all ages; Light of Light, true God of true God, begotten, not created, of one essence with the Father, through Whom all things were made;

Who for us men and for our salvation came down from the heavens and was incarnate by the Holy Spirit and the Virgin Mary, and became man;

Crucified for us under Pontius Pilate, He suffered and was buried;

Rising on the third day according to the Scriptures,

And ascending into the heavens, He is seated at the right hand of the Father;

And coming again in glory to judge the living and the dead, His kingdom shall have no end;

And in the Holy Spirit, the Lord, the Creator of life, Who proceeds from the Father, Who together with the Father and the Son is worshipped and glorified, Who spoke through the prophets;

In one, holy, catholic, and apostolic Church;

I acknowledge one baptism for the remission of sins;

I expect the resurrection of the dead;

And the life of the age to come. Amen.

*Text approved 1993*
✠ Bishop Isaiah of Denver